| 1. Strophe: | 2. Strophe: | 3. Strophe: |
|---|---|---|
| b) μακάριοι οἱ τούτοις ὑπακούοντες τοῖς προστάγμασιν· | a) Μὴ οὖν λυπείσθω ὁ εὐσεβής, ἐὰν ἐπὶ τοῖς νῦν χρόνοις ταλαιπωρῇ· | a) ἀλλὰ μηδὲ ἐκεῖνο τὴν διάνοιαν ὑμῶν ταρασσέτω, ὅτι βλέπομεν τοὺς ἀδίκους πλουτοῦντας καὶ στεναχωρουμένους τοὺς τοῦ θεοῦ δούλους[3]. |
| a) κἂν ὀλίγον χρόνον κακοπαθήσωσιν ἐν τῷ κόσμῳ, | b) μακάριος αὐτὸν ἀναμένει χρόνος. | b) πιστεύωμεν οὖν, ἀδελφοὶ καὶ ἀδελφαί. |
| c) τὸν ἀθάνατον τῆς ἀναστάσεως καρπὸν τρυγήσουσιν[1]. | c) ἐκεῖνος ἄνω μετὰ τῶν πατέρων ἀναβιώσας εὐφρανθήσεται εἰς τὸν ἀλύπητον αἰῶνα[2]. | c) θεοῦ ζῶντος πεῖραν ἀθλοῦμεν καὶ γυμναζόμεθα τῷ νῦν βίῳ, ἵνα τῷ μέλλοντι στεφανωθῶμεν[4]. |

| | |
|---|---|
| οὐδεὶς τῶν δικαίων ταχὺν καρπὸν ἔλαβεν, | ἀλλ᾽ ἐκδέχεται αὐτόν. |
| εἰ γὰρ τὸν μισθὸν τῶν δικαίων ὁ θεὸς συντόμως ἀπεδίδου, | εὐθέως ἐμπορίαν ἠσκοῦμεν καὶ οὐ θεοσέβειαν. |
| ἐδοκοῦμεν γὰρ εἶναι δίκαιοι οὐ τὸ εὐσεβές, | ἀλλὰ τὸ κερδαλέον διώκοντες. |
| καὶ διὰ τοῦτο θεία κρίσις ἔβλαψεν πνεῦμα μὴ ὂν δίκαιον, | καὶ ἐβάρυνεν δεσμοῖς[5]. |

Derselbe Begriff μισθός, der in der Einleitung eine centrale Stellung hat, dient in echt epistolographischer Weise hier — nach Art einer Inclusion — als Motiv des Schlusses.

Daran schliesst sich, wie üblich, die — wieder dreigetheilte — Doxologie:

A a) τῷ μόνῳ θεῷ ἀοράτῳ, πατρὶ τῆς ἀληθείας,
b) τῷ ἐξαποστείλαντι ἡμῖν τὸν σωτῆρα καὶ ἀρχηγὸν τῆς ἀφθαρσίας,
c) δι᾽ οὗ ἐφανέρωσεν ἡμῖν τὴν ἀλήθειαν καὶ τὴν ἐπουράνιον ζωήν,

B αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1] 20 3. [2] 19 4. [3] 20 1. [4] 20 2. [5] 20 4.